# 19 IUNIE
# ANTONIOS MARKOU

# PARACLISUL SF.IERARH IOAN MAXIMOVICI, ARHIEPISCOPUL SAN FRANCISCO

# PARACLISIER-GR


СТ·ІѠАННЪ
САНФРАН-
ЦІССКІЙ

# Παρακλητικὸς Κανὼν Ἁγίου ΙΩΑΝΝΟΥ ΜΑΞΙΜΟΒΙΤΣ, Ἀρχιεπισκόπου Σαγκάης καὶ Ἁγίου Φραγκίσκου [1]

[Ἀντ. Μάρκου]

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρμβ΄ (142) Ψαλμός καί τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά Τροπάρια. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τόν ἐν ἐσχάτοις τοῖς καιροῖς διαλάμψαντα* καί διά βίου τήν Τριάδα δοξάσαντα,* τόν Ἰωάννην ἅπαντες ὑμνήσωμεν πιστοί·* θεῖος Ἀρχιθύτης γάρ* τοῦ Ἁγίου Φραγκίσκου,* Ὅσιος, Θαυματουργός,* ἄφθορος τε ἐδείχθη·* καί νῦν πρεσβεύει ἐνθέρμως τῷ Θεῷ* πᾶσι ἡμῖν δοῦναι* πταισμάτων τήν ἄφεσιν.

Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε,* τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι·* εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα,* τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων;* Τίς δὲ διεφύλαξεν* ἕως νῦν ἐλευθέρους;* Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ·* Σοὺς γὰρ δούλους σώζεις ἀεί* ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) Ψαλμός.

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς· *ΔΕΗΣΙΣ ΙΩΑΝΝῌ ΘΕΙῼ ΑΝΤΩΝΙΟΥ ΙΚΕΤΟΥ.*

Ὠδή α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.

Δεόμενος, Ἅγιε, τοῦ τυχεῖν* σαῖς θείαις πρεσβείαις* βοηθείας ἐξ οὐρανοῦ,* παράκλησιν ἔνδακρυν ποιοῦμαι* καί σέ μεσίτην προβάλλω πρός Κύριον.

Εὐχαῖς σου ταῖς θείαις καί οἰκτιρμοῖς,* τόν πάσχοντα, Πάτερ, συνεργείᾳ τοῦ πονηροῦ* διάσωσον, μάκαρ Ἰωάννη,* καί πρός ὑγείας ὁδόν χειραγώγησον.

Δόξα.

Ἡμάρτηκα, Ὅσιε, καί Θεοῦ* προσβάλλω εἰκόνα* καί βεβύθισμαι ἐν βυθῷ* δικαίας τε κακίστης ἀπωλείας·* πλήν Ἰησοῦ τῷ Κυρίῳ μεσίτευσον.

Καί νῦν. Θεοτοκίον.

Σωτῆρα τεκοῦσα, ὦ Μαριάμ,* σπλαχνήθητι, Κόρη,* Ἰωάννου σεπταῖς λιταῖς* καί σπεῦσον λυτρώσασθαι Σόν δοῦλον,* τῆς ἐρχομένης δικαίας παιδεύσεως.

Ὠδή γ΄. Οὐρανίας ἁψῖδος.

Ἰαμάτων τήν χάριν* παρά Θεοῦ, Πάτερ, ἔλαβες* καί θαυματουργός ἀνεδείχθης·* διό σοῦ δέομαι*, ἐμέ τόν φέροντα* νόσων ποικίλων τό ἄχθος,* τάχιστα ἀπάλλαξον,* ὡς συμπαθέστατος.

Σάλπιγξ θείων ἐδείχθης* λόγων καί πράξεων, Ὅσιε,* ἔμπλεως ἀγάπης καί ζήλου·* διό σοῦ δέομαι,*

ἐμέ τόν σπεύδοντα* ὑπό τήν σήν προστασίαν* στήριξον, ἐνίσχυσον καί σῶσον δέομαι.

Δόξα.

Ἱλαρόν τό σόν ὄμμα* ἐπί τόν πάσχοντα στρέψον νῦν* καί ταῖς σαῖς λιταῖς τῷ Κυρίῳ,* ὁμοῦ δεήσεσιν,* τήν χάριν ἕλκυσον* ἐπί τόν πταίοντα ὅλως* καί παιδαγωγούμενον* χειρί τοῦ Κτίσαντος.

Καί νῦν. Θεοτοκίον.

Ὦ Πανύμνητε Μῆτερ,* Παρθένε, Κόρη Ἀπείρανδρε,* δέησιν τήν ἔνθερμον δέχου* Ἰωάννου καί λύτρωσαι* τῆς τοῦ Υἱοῦ Σου ὀργῆς* τῆς φοβερᾶς καί δικαίας* τῆς ἐπαπειλούσης με,* Κυρία Πάνσεμνε.

Διάσωσον,* Ἰωάννη θεοφάντορ, τούς σέ τιμῶντας* καί μνήμην ἐν πίστει γεραίροντας* καί λύτρωσαι* δεινῶν τῶν ἐπερχομένων.

Ἐπίβλεψον* ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε,* ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν* καί ἴασαι* τῆς ψυχῆς μου τό ἄλγος.

Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.

Ἐλέους τυχεῖν* ἀπαύστως σοῦ δεόμεθα,* Θεοῦ Σαβαώθ* καμπτομένου ταῖς πρεσβείαις σου,* Ἰωάννη σεπτέ,* Ὀρθοδόξων τό καύχημα·* μή παύῃς, Πάτερ ἀγαθέ,* δεόμενος ὑπέρ τῶν τιμώντων σε.

Ὠδὴ δ΄. Εἰσακήκοα, Κύριε.

Ἁμαρτίας ὁ ἔμπλεως* μεθ’ ἐλπίδος, Πάτερ, πρός σέ κατέφυγον* ἐξαιτούμενος, μακάριε,* πρός Χριστόν πρεσβείᾳ σου τήν ἄφεσιν.

Νεκρώσας τοῖς πάθεσι* καί ἀμαυρώσας, Πάτερ, τήν ὡραιότητα* τῆς ψυχῆς μου, σοί προσέρχομαι* καί σοῦ δέομαι· ἱλάσθητι.

Δόξα.

Νικητήν σε ὁ Κύριος* τῆς φθορᾶς τοῦ σκήνους, σεπτέ, ἀνέδειξε·* διό νίκην τήν τοῦ πνεύματος* κατά τῶν παθῶν, προσπίπτων δέομαι.

Και νῦν. Θεοτοκίον.

Ἡ μόνη Πανάχραντος,* ἡ τόν Σόν ἱκέτην Ἰωάννην Μαξίμοβιτς* χαριτώσασα, Πανύμνητε,* δέχου δέησιν αὐτοῦ καί ἡμᾶς ἐλέησον.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Θείου φωτισμοῦ* καί ἀφέσεως σοῦ δέομαι,* Ἰωάννη, τοῦ τυχεῖν ταῖς σαῖς εὐχαῖς·* ἀγωνίας γάρ βυθῷ, Πάτερ, βεβύθισμαι.

Ἔλεος εὑρεῖν* ἐν ἡμέρᾳ τήν τῆς Κρίσεως,* Πάτερ, δέομαι ἐντόνως καί θερμῶς,* τῆς πρός Κύριον τόν Δίκαιον πρεσβείας σου.

Δόξα.

Ἵλεως γενοῦ* τῷ πολλά πταίοντα, Κύριε,* ἱκεσίαις Ἰωάννου καί λιταῖς·* τοῦτον, Σῶτερ, Σοί προσάγω ἀντιλήπτορα.

Καί νῦν. Θεοτοκίον.

Ὡραῖος ὑπέρ νοῦν* πέλει ὁ Τόκος Σου, Θεόνυμφε,* Ὅν ἱκέτευε Σοῦ δέομαι θερμῶς,* τοῦ φωτίσαι τῆς ψυχῆς μου τήν τυφλότητα.

Ὠδή στ΄. Τήν δέησιν.

Ἀρνήσεως* καί προσβολῆς τῆς εἰκόνος* τῆς τοῦ Θεοῦ καί τάς τοῦ βίου μου πτώσεις* καί τῆς ψυχῆς μου τά τραύματα, Πάτερ,* καί τοῦ νοός σκοτισμόν καί τήν οἴησιν* θεράπευσον ὡς ἰατρός* συμπαθής, ταῖς πρός Θεόν ἱκεσίαις σου.

Νενίκημαι* ὑπό τοῦ πλάνου καί κεῖμαι* πτῶμα φρικτόν πρό τῶν ποδῶν τοῦ Δεσπότου·* διό καί νῦν τῇ ἀντιλήψει σου σπεύδω* καί σοί προσκύπτω δεόμενος· πρόφθασον*, ἀνάστησον τόν φοβερᾷ* πτώσει πεσόντα καί στήριξον, Ὅσιε.

Δόξα.

Τέλους καλοῦ* καί μετανοίας ἐμπράκτου,* ἔργων ἀγάπης καί παθῶν ἐγκρατείας,* ἀξίωσόν με, εὐσυμπάθητε Πάτερ,* καί τῇ ζηδώρῳ πρεσβείᾳ σου σῶσον με,* ἀνάγων με ἀπό βυθοῦ* τῆς ἀπωλείας πρός ὕψος τῆς χάριτος.

Καί νῦν. Θεοτοκίον.

Ὡραῖος ὤν* ὁ Σός Υἱός, Θεοτοκέ,* ὁ ὡραιότητα ἁγίαν βραβεύσας* τῷ Ἱεράρχῃ Αὐτοῦ Ἰωάννῃ,* οὗ ταῖς πρεσβείαις θαῤῥῶν νῦν προσέρχομαι* πρό βήματος Δεσποτικοῦ,* τελωνικῶς βοών Αὐτῷ τό ἱλάσθητι.

Διάσωσον,* Ἰωάννη θεοφάντορ, τούς σέ τιμῶντας* καί μνήμην ἐν πίστει γεραίροντας* καί λύτρωσαι* δεινῶν τῶν ἐπερχομένων.

Ἄχραντε,* ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως* ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,* ὡς ἔχουσα μητρικήν παρρησίαν.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἰωάννην, Κύριε, ὁ χαριτώσας* καί αὐτοῦ τό Λείψανον* ἐν ἀφθαρσίᾳ διατηρῶν,* τούτου εἰσάκουσον, Δέσποτα,* εἰρήνην κόσμῳ* καί ἔλεος δωρούμενος.

Προκείμενον. *Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Στ. *Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.*

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην (Κεφ. ι' 9 – 16).

Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα· δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει. Ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσιν καὶ περισσὸν ἔχωσιν. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ μισθωτὸς καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ ἔστιν τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησιν τὰ πρόβατα καὶ φεύγει καὶ ὁ

λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα. Ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστιν καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν· καθὼς γινώσκει με ὁ Πατὴρ, κἀγὼ γινώσκω τὸν Πατέρα· καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνα δεῖ με ἀγαγεῖν καὶ τῆς φωνῆς μου ἀκούσουσιν καὶ γενήσονται μία ποίμνη, εἷς ποιμήν.

Δόξα. Ταῖς τοῦ Ἱεράρχου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στ. *Ἐλέησόν με, ὁ Θεός...*

Κόσμου τήν τερπνότητα* διά σαλότητος, Πάτερ,* καί ὁσίας βιοτῆς* καί μακρᾶς ἀσκήσεως* κατεφρόνησας·* διό καί τήν οὐράνιον* ἀντί ταύτης δόξαν* ὁ Χριστός σοί ἐπιβράβευσεν* καί δοχεῖον χάριτος* τοῦ Ἁγίου Πνεύματος* σέ ἀνέδειξεν·* ἄφθαρτον δέ σόν Λείψανον* ἡμῖν εἰς εὐλογίαν κατέλειπεν.* Διό σοί βοῶμεν,* μή παύῃς ἱκετεύειν πρός Αὐτόν* τοῦ ἐλεῆσαι τούς δούλους Του* καί δωρῆσαι ἄφεσιν.

Ὠδή ζ΄. Οἱ τῆς Ἰουδαίας.

Ναόν τῆς Θεοτόκου* ᾠκοδόμησας, Πάτερ, παντί περίβλεπτον,* ἐν πόλει τοῦ Φραγκίσκου* καί γῇ

Ἀμερικανίδι·* διό τιμῶμέν σε ψάλλοντες·* ὁ τῶν Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ.

Ἱκέτης νῦν προσπίπτω,* εἰσάκουσόν μου, Πάτερ, τῆς παρακλήσεως·* τό πλῆθος γάρ συντρίβει* τῆς ἐμῆς ἀνομίας· διό κραυγάζω σοι·* Ἰωάννη σεπτέ,* καμοῦ τό σκότος λῦσαι.

Δόξα.

Ὁ ἐκ τῆς ἁμαρτίας* τετραυματισμένος θερμῶς σοῦ δέομαι,* τῇ πίστει στηριχθῆναι* τῇ τῆς Ὀρθοδοξίας, τυχεῖν δ' ἀφέσεως* ταῖς σαῖς σεπταῖς, Πάτερ, λιταῖς,* παμμάκαρ Ἰωάννη.

Καί νῦν. Θεοτοκίον.

Ὕμνου τήν ἱκεσίαν,* Σεμνή Παρθένε, δέχου· πρέσβυν γάρ φέρω Σοι,* τόν μέγαν Ἰωάννην,* τόν θεῖον Μαξιμόβιτς,* μεθ' οὗ βοῶ Σοι, Ἁγνή·* χαῖρε ἡ αἰώνιος χαρά* πάντων τῶν θλιβομένων.

Ὠδή η΄. Τόν Βασιλέα.

Ἴασιν δίδου* καί παραμύθησον, Πάτερ,* τόν πρός σέ καταφεύγοντα καί σπεῦσον* ἱλεῶσαι τόν Κριτήν,* κηδόμενος σοῦ τέκνου.

Δόξα.

Κάλλιστον ἔργον* τῶν σῶν θαυμάτων ἡ χάρις* προσφέρει τοῖς χρήζουσι, παμμάκαρ,* Ἰωάννη κλεινέ·* διό βοῶ σοι, σπεῦσον.

Καί νῦν. Θεοτοκίον.

Ἔρωτα θεῖον* ἐμφύτευσόν μοι, Παρθένε,* τῷ καταφεύγοντι πρός Σε· ζῆλον δέ δίδου* μετανοίας ἀληθοῦς,* πρεσβείαις Ἰωάννου.

Ὠδή θ΄. Κυρίως Θεοτόκον.

Τιμῶν σήν, Πάτερ, μνήμην* γονυκλινῶς αἰτοῦμαι* τῆς παρακλήσεως ταύτης εἰσάκουσον* καί πρέσβευε διά παντός* ἐλεηθῆναι τόν μικρόν κοπιάσαντα.

Δόξα.

Ὅρμησον τήν ψυχήν μου* λιμένι εὐσεβείας,* πειρασμικῶν τε κυμάτων ἀπάλλαξον,* ὦ Ἰωάννη ἀγαθέ,* ὡς παῤῥησίαν ἔχων.

Καί νῦν. Θεοτοκίον.

Ὕμνου περατωθέντος* εἰρήνην βράβευσόν μοι* καί λογισμῶν τήν γαλήνην, Πανάχραντε·* ὑπό τήν σκέπην δέ τήν Σήν,* Παρθένε, τήρησόν με.

Μεγαλυνάρια.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,* μακαρίζειν Σε τὴν Θεοτόκον,* τὴν ἀειμακάριστον καὶ παναμώμητον* καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν.* Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ* καὶ ἐνδοξοτέραν* ἀσυγκρίτως τῶν Σεραφείμ,* τὴν ἀδιαφθόρως* Θεόν Λόγον τεκοῦσαν,* τὴν ὄντως Θεοτόκον* Σέ μεγαλύνομεν.

Χαΐροις Ἰωάννη θαυματουργέ,* τῆς Ῥωσίας γόνε,* οἰκουμένης ὁ βοηθός·* χαίροις Ὀρθοδόξων

Χριστιανῶν προστάτης,* κακοδοξίας πάσης δεινός ἀντίπαλος.

Τόν ἐν Ἱεράρχαις θαυματουργόν* καί τόν ἐν ἀσκήσει* διαλάμψαντα καί σαλόν,* διά τήν τοῦ Κυρίου ἀγάπην· τόν φανέντα* ἄφθορον ἐν ἐσχάτοις* χρόνοις τιμήσωμεν.

Πρεσβεύων μή παύῃς, Πάτερ σεπτέ,* Χριστῷ τῷ Κυρίῳ* ὑπέρ πάντων τῶν εὐσεβῶν,* τοῦ τυχεῖν ἐλέους καί θείας βοηθείας* δόξης τε οὐρανίου* μακαριότητος.

Ἐλέους γνωρίζω σε τήν πηγήν,* θαυμάτων τό ῥεῖθρον,* τῶν ἰάσεων χορηγόν,* τῶν ἁμαρτανόντων διορθωτήν καί πάντων* τῶν πίστει προστρεχόντων, Πάτερ, ἀκέστορα.

Ὄμβρισον ἐλέους τόν ὑετόν,* ἔπαρον τάς χεῖρας* πρός τόν Κύριον καί Θεόν·* στήριξον τῇ πίστει τῇ Ὀρθοδόξῳ πάντας* καί κάλυψον ἀγάπῃ τούς σοί προσφεύγοντας.

Ἄνοιξον τά ὄμματα τῆς ψυχῆς* τῆς τετυφλωμένης* ἁμαρτίας λέπρᾳ δεινῇ* καί φώτισον, Πάτερ, τοῦ πνεύματος τάς κόρας* φωτί τοῦ Παρακλήτου, ταῖς σαῖς δεήσεσι.

Ἀνήγειρας δόμον, Πάτερ, λαμπρόν,* Κόρῃ Θεοτόκῳ,* θλιβομένων πάντων Χαρᾷ,* μάκαρ Ἰωάννη* Μαξίμοβιτς ἐν πόλει* Φραγκίσκου* ἔνθα σκῆνος* σόν κεῖται ἄφθαρτον.

Ἕτερα. Δρ. Χαραλάμπους Μπούσια.

Χαίροις, Ἱεράρχα νεοφανές,* μάκαρ Ἰωάννη,* ταπεινώσεως κορυφή·* χαίροις, ὁ ἀνύσας* οὐρανοδρόμον ἄρτι* πορείαν καί θαυμάτων* κρήνη γενόμενος.

Τόν βλαστόν Ῥωσίας τόν ἱερόν,* τόν ἐν τῇ Ἀσίᾳ,* Ἰωάννην, Ἀμερικῇ* καί Εὐρώπῃ ἄρτι,* Ὀρθοδοξίας κρίνα,* ἀνθήσαντα εὐσχήμως* ἀνευφημήσωμεν.

Χαίροις, τῶν Ἑλλήνων τῶν εὐλαβῶς* ἐν Μοναστηρίῳ* κατοικούντων ὁ λειτουργός·* χαίροις, Ἰωάννη,* ἐν δυσχειμέροις χρόνοις* αὐτῶν παρηγορία* καί θεῖον στήριγμα.

Χαίροις κοσμιότης Ἱεραρχῶν,* ἱεραποστόλων* νέον εὖχος καί θησαυρός* δωρημάτων θείων,* τρισμάκαρ Ἰωάννη,* ἀφθόνως ὁ ἑλκύσας* χάριν τοῦ Πνεύματος.

Φρούρει, χαριτώνυμε, τούς πιστῶς* μέλποντας σήν μνήμην,* Ἰωάννη θεοειδές,* τῆς Ῥωσίας γόνε,* Μαξίμοβιτς θεόφρον,* καί σπεύδοντας λιταῖς σου* πρός τόν Θεάνθρωπον.

Ἕτερα. Ἀρχιμανδρίτου Ἀγαθαγγέλου Νικολαΐδη.

Φερωνύμως δῶρον παρὰ Θεοῦ* ὤφθης, Ἰωάννη,* καὶ ἀκέστωρ καὶ βοηθός* τοῖς χειμαζομένοις* πελάγει τῷ τοῦ βίου,* αὐγάζων σαῖς πρεσβείαις* παθῶν τὴν ζόφωσιν.

Τὸν ἐν Ἱεράρχαις θαυματουργόν* καὶ τὸν ἐν ἀνάγκαις* προθυμότατον βοηθόν,* πενήτων

προστάτην* καὶ θλιβομένων ῥύστην,* τὸν μέγαν Ἰωάννην* πόθῳ ὑμνήσωμεν.

Ὡς θερμὸν προστάτην τῶν ὀρφανῶν* καὶ ἐν τοῖς κινδύνοις* ἀντιλήπτορα θαυμαστόν* γινώσκομεν πάντες* ἀεὶ οἱ ἀφορῶντες* καὶ πίστει προσκυνοῦντες* σορῷ λειψάνου σου.

Ἀκραιφνοῦς ἀσκήσεως ἐραστής* καὶ τῆς Ἀσωμάτων* πολίτειας ἐκμιμητής,* σαλότητος τρόπους* ἐξιχνιάσας, Πάτερ,* Ἁγίοις συναυλίζῃ* νῦν ἱερώτατε.

Σὺν Ἰννοκεντίῳ καὶ Γερμανῷ,* Ἰωάννη θεῖε,* νῦν ἐπάρατε πρὸς Θεόν* ὑμῶν τάς θείας χεῖρας* καὶ λύσατε κινδύνων* πάντας τοὺς προσκυνοῦντας* Τριάδα ἄκτιστον.

Ὡς τῆς Θεοτόκου σὲ ὑμνητήν* καὶ Ἁγίων Πάντων* διὰ βίου ἐκμιμητήν* τιμῶμεν οἱ πόθῳ* παντοδαπῶς τυχόντες* τῆς ἀντιλήψεώς σου,* ὢ παμμακάριστε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,* Πρόδρομε Κυρίου,* Ἀποστόλων ἡ δωδεκάς,* οἱ Ἅγιοι Πάντες* μετά τῆς Θεοτόκου,* ποιήσατε πρεσβείαν* είς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β'.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα τοῦ Ἁγίου καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Πάντας τούς τιμῶντας τήν σεπτήν* καί ἁγίαν μνήμην σου, Πάτερ,* δεινῶν διάσωσον,* πάσης μεθοδίας τε δολίου δράκοντος,* προσβολῆς, ἐπιθέσεως, παντός ἐναντίου·* σαῖς λιταῖς, μακάριε, Χριστόν τόν Κύριον* κάμψον καί ὀργῆς ἐρχομένης,* ἀσφαλῶς ἀπάλλαξον, ὅτι* πταίομεν καί μέλλομεν κολάζεσθαι.

Δέσποινα, πρόσδεξαι* τὰς δεήσεις τῶν δούλων Σου* καὶ λύτρωσαι ἡμᾶς* ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου* εἰς Σὲ ἀνατίθημι,* Μῆτερ τοῦ Θεοῦ,* φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Δίστιχον·

*Κόπου τοῦ ἐλαχίστου μνήσθητι, Ἰωάννη*
*καί πρέσβευε Κυρίῳ ἐμέ ἐλεηθῆναι.*

---

[1] Ἐποιήθη ἐπί πόνου ψυχῆς, κατά Νοέμβριον 1995, συνεπείᾳ νοσηλείας τῆς ἀσθενούς Μ. Μ. εἰς τό Νοσοκομεῖον ΕΝΕΝΑΣ ΒΕΝΙΖΕΛΟΥ, κινδυνευούσης εἰς θάνατον. Βλ. Περιοδικόν Orthodox Tradition, τ. 1996.